μιάζει τὰ πράγματα. ἰστέον δέ, ὅτι οὐκ εἰδότως προφέρεται τὸν λόγον, ἐπεὶ κατὰ ἀλήθειαν καλῶς λέγει μέγιστα εἶναι πράγματα ταῦτα καὶ ἄριστα· τοῦ γὰρ ἀγαθοῦ καὶ τοῦ καλοῦ καὶ τοῦ δικαίου οὐδὲν μεῖζον. τὸ μὲν γὰρ ἀγαθὸν ἀπὸ θεοῦ ἐπὶ πάντα ἐκτέταται, ὡς καὶ ἐπὶ τὴν ὕλην αὐτὴν φέρεσθαι, εἴ γε πρὸς δημιουργίαν συμβάλλεται· καὶ φαμὲν αὐτὴν ἀγαθὴν εἶναι. τὸ δὲ καλὸν οὐκ ἐπὶ πάντα· ἡ γὰρ ὕλη ἀγαθὴ μέν, οὐ καλὴ δέ, αἰσχρὰ γάρ. τὸ γὰρ καλὸν ἐπὶ τῶν εἰδῶν μόνων λέγεται· ἀμέλει εἶδος πρέπον αἰσχροὺς καλοῦμεν. οὕτω γοῦν περὶ τοῦ Θερσίτου ὁ ποιητής φησιν

αἴσχιστος δὲ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε·

τὸ δὲ δίκαιον ἐπὶ τῶν ἐμψύχων, καὶ τούτων οὐ πάντων, ἀλλὰ τῶν δυναμένων ἑκάστῳ τὰ πρὸς ἀξίαν νέμειν, οὐδὲ ὅλως δὲ ἐπὶ τῶν ἀψύχων. οὐδεὶς γοῦν λειμῶνα δίκαιον λέγει, καὶ ἁπλῶς εἴρηται ἐν τῷ Ἀλκιβιάδῃ.

εἰ μὲν ἐπὶ τὰ ὁρατὰ πάντα ἐκτείνωμεν ἑαυτούς, οὐκ ἀντι- **2**
στρέφει τὰ τρία ταῦτα, εἰ δὲ ἐπὶ τὰς πράξεις ναί· πᾶσα γὰρ ἀγαθὴ πρᾶξις καὶ δικαία ἐστὶν καὶ καλή, καὶ πᾶσα καλὴ καὶ ἀγαθὴ καὶ δικαία, καὶ πᾶσα δικαία καὶ ἀγαθὴ καὶ καλή. μέμφεται οὖν τῇ ἀποκρίσει διττῶς, ὅτι τε ἀμφίβολός ἐστι, καὶ ὅτι ἀσαφής· δεῖ γὰρ εἰδέναι, ὅτι ὁ ὁρισμὸν ἀποδιδούς τινος καὶ ἀναμφίβολον θέλει λέγειν καὶ σαφῆ. ὡς γὰρ ἐν ἑτέροις φησὶν ὁ Πλάτων, δεῖ τὸν περί τινος σκοποῦντα εἰδέναι τὴν οὐσίαν αὐτοῦ, ἐπεὶ τὸν ἀγνοοῦντα τὴν οὐσίαν τοῦ ζητουμένου ἀνάγκη τοῦ παντὸς ἁμαρτεῖν, οἷον ὁ ζητῶν τὴν ἀθανασίαν τῆς ψυχῆς ὀφείλει πρότερον τὴν οὐσίαν αὐτῆς ζητῆσαι. τὴν δὲ οὐσίαν οἱ ὁρισμοὶ διδάσκουσιν· θέλουσιν τοίνυν οἱ ὁρισμοὶ ὁμολογούμενοι εἶναι, ὡς ἂν ἀποδείξεως ἀρχαὶ γινόμενοι. ἀμφίβολος μὲν οὖν ἐστιν ὁ λόγος τοῦ Γοργίου, ὅτι οὐ μόνον οἱ λόγοι αὐτοῦ μέγιστοί εἰσι καὶ ἄριστοι· καὶ γὰρ καὶ ὁ ἰατρὸς τὸ αὐτὸ λέγει, ὅτι ἐγὼ περὶ

10 cf. B 216. Olympiod. in Plat Phaed. **A VII 3** **15** Plat. Alcib. 112a. **23** Plat. Phaedr. 237c

**3** mg. ἀγαθόν ἐπὶ πάντων
καλόν ἐπὶ εἰδῶν
δίκαιον ἐπὶ ἐμψύχων

**15** mg. ση